UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

Universitätsbibliothek Paderborn

# Conciliorvm Omnivm Generalivm Et Provincialivm Collectio Regia

Ephesini Concilii Generalis Pars I. Et II. Sub Cælestino papa I. anno CCCCXXXI.

**Parisiis, 1644**

Capvt XXXIV. Eiusdem epistola secunda.

**urn:nbn:de:hbz:466:1-15062**

Visual Library

## CAPVT XXXIV.

*Eiusdem epistola secunda.*

*Cyrillus presbyteris, diaconis, populoque Alexandrino, dilectis desideratissimisque in Domino Sal.*

DESIDERANTI mihi vestram moderationem denuo consalutare, tempus & locus commodam scribendi occasionem attulerunt. Per omnium itaque vestrum preces in Ephesiorum metropoli agimus, commoda vtentes valetudine, inchoandæque Synodi tempus in horas expectantes. Confidimus autem, omnium saluatorem Christū ecclesias suas ab omnibus peruersis doctrinis repurgaturum, rectamque fidem omnibus palam facturum; quo omnes vbique locorum agentes, mundi, inculpati, sinceraque fide
1. Tim. 2. v. 8. ornati, puras manus ad preces leuare, illudque beati Dauidis di-
Ps. 140. v. 2. cere valeant: *Dirigatur oratio mea sicut incensum in conspectu tuo: eleuatio manuum mearum, sacrificium vespertinum.* Circumcursat enim peruersa illa peruigilque bestia, Christi gloriæ insidians: at nihil omnino potest, inani prorsus cassaque illius prauitate & malitia permanente. Insidiatur quippe non homini cuipiam vulgari, nobisve simili, sicut isti nouorum dogmatum inuentores arbitrantur; sed Deo omnipotenti. Audiat igitur a quouis Christum a-
Act. 9. v. 5. mante: *Durum est tibi contra stimulum calcitrare.* Ferit enim miser seipsum, vnaque cum filiis suis ad interitum ruet. Nam qui recta ecclesiarum dogmata peruer-

## ΚΕΦΑΛΑΙΟΝ λδʹ.

Τοῦ αὐτοῦ δευτέρα ἐπιστολή.

Κύριλλος πρεσβυτέροις, καὶ διακόνοις, καὶ λαῷ Ἀλεξανδρείας, ἀγαπητοῖς καὶ ποθεινοτάτοις ἐν κυρίῳ χαίρειν.

ΔΙΨΩΝΤΙ μοι πάλιν τῆς ὑμῶν ἐπιεικείας τὴν πρόσρησιν, δέδωκε τοῦ γράφειν καιρὸς καὶ τόπος. ἐσμὲν τοιγαροῦν ἐν τῇ Ἐφεσίων, διὰ τὰς πάντων ὑμῶν εὐχὰς ἐν εὐεξίᾳ διατελοῦντες, καὶ λοιπὸν ἐστὶν ἔχοντες τὸν τῆς συνόδου καιρόν. πεπείσμεθα δὲ, ὅτι Χριστὸς ὁ πάντων σωτὴρ καθαρὰς ἀποφανεῖ διεστραμμένων ἐννοιῶν τὰς ἑαυτοῦ ἐκκλησίας, καὶ τὴν ὀρθὴν πίστιν * ἀποκαταστήσει φανοτάτην· ὥστε πάντας πανταχῆ καθαροὺς καὶ ἀμώμους, ἀκαπήλευτον ἔχοντας αὐτὴν, ὁσίας αἴρειν χεῖρας εἰς προσευχὰς, ἐκεῖνο λέγοντας τὸ διὰ φωνῆς τοῦ μακαρίου Δαυίδ· κατευθυνθήτω ἡ προσευχή μου ὡς θυμίαμα ἐνώπιόν σου· ἔπαρσις τῶν χειρῶν μου, θυσία ἑσπερινή. περιέρχεται γὰρ ὁ πονηρὸς, τὸ ἀκοίμητον θηρίον, ἐπιβουλεύων τῇ δόξῃ τοῦ Χριστοῦ· ἰσχύει δὲ ὅλως οὐδὲν, ἀργούσης αὐτοῦ τῆς σκαιότητος, καὶ ἀπρακτούσης τῆς πονηρίας. ἐπιβουλεύει γὰρ οὐκ ἀνθρώπῳ κοινῷ, οὐδὲ ἑνὶ τῶν καθ' ἡμᾶς ἁπλῶς, κατὰ τὸ δοκοῦν τοῖς νέοις δογματισταῖς, ἀλλὰ θεῷ τῷ πάντα ἰσχύοντι. ἐκοιοῦ ἀκουέτω παρὰ παντὸς ἀγαπῶντος Χριστόν· σκληρόν σοι τὸ πρὸς κέντρα λακτίζειν. πλήττει γὰρ ἑαυτὸν ὁ δείλαιος, καὶ ὁμοῦ τοῖς ἰδίοις τέκνοις πεσεῖται πρὸς ὄλεθρον. οἱ γὰρ τὰ ὀρθὰ τῶν ἁγίων ἐκκλησιῶν διαστρέφοντες

* [illegible]

ANNO CHRISTI 431.

δόγματα, τῆς ἐκείνου μερίδος εἰσίν· οὐ φεύξονται δὲ τὸ κρίμα τοῦ θεοῦ. προσεύχεσθε τοίνυν ὑπὲρ ἡμῶν, ἵνα ὁ θεὸς ὁ πάντων σωτὴρ δοίη πάλιν χαίρουσι χαίροντας ἀποδοθῆναι· πάντα γὰρ δύναται, καὶ ἀδυνατεῖ παντελῶς οὐδὲν αὐτῷ. ἀσπάσασθε ἀλλήλους ἐν φιλήματι ἁγίῳ. ἀσπάζονται ὑμᾶς οἱ σὺν ἐμοὶ ἀδελφοί. ἐρρῶσθαι ὑμᾶς ἐν κυρίῳ εὔχομαι, ἀγαπητοὶ καὶ ἀδελφοὶ ποθεινότατοι.

tunt, de sorte illius sunt; neque Dei iudicium euadere possunt. Orate igitur pro nobis, vt Dei omnium saluatoris munere gaudentes gaudentibus iterum restituamur. Omnia enim potest; & nihil omnino est quod ipse non queat. *Salutate vos inuicem in osculo sancto.* Salutant vos, qui mecum sunt fratres. Valere vos in Domino exopto, dilecti & desideratissimi fratres.

## ΚΕΦΑΛΑΙΟΝ λε΄.

Θεῖον γράμμα ἀποσταλὲν τῇ ἁγίᾳ συνόδῳ διὰ Κανδιδιανοῦ κόμητος δομεστίκων, τοῦ καὶ τὴν εὐταξίαν τῆς συνόδου ἐγχειρισθέντος.

## CAPVT XXXV.

*Sacra ad sanctam Synodum missa per Candidianum comitem domesticorum, cui seruandi in Synodo ordinis cura demandata erat.*

Αὐτοκράτορες Καίσαρες, Θεοδόσιος καὶ Οὐαλεντινιανός, νικηταί, τροπαιοῦχοι, μέγιστοι, ἀεισέβαστοι Αὔγουστοι, τῇ ἁγίᾳ συνόδῳ.

*Imperatores Cæsares, Theodosius & Valentinianus, victores, triumphatores, maximi, semper Augusti, sanctæ Synodo.*

ΠΑΝΤΩΝ μὲν τὴν κοινῇ συντελούντων πολλὴν φροντίδα ποιούμεθα, διαφερόντως δὲ τὴν εἰς εὐσέβειαν ἡκόντων· δι' ὧν καὶ τῶν λοιπῶν ἀγαθῶν ἡ χορηγία τοῖς ἀνθρώποις περιγίνεται. διά τοι τοῦτο πρῴην μὲν περὶ τοῦ συνελθεῖν τὴν ὑμετέραν θεοσέβειαν εἰς τὴν τῶν Ἐφεσίων μητρόπολιν, τὰ εἰκότα γεγραφήκαμεν. ἐπεὶ δὲ χρὴ καὶ τῆς πρεπούσης εὐταξίας τε καὶ ἡσυχίας τῇ διασκέψει τῆς ἁγιωτάτης ὑμῶν συνόδου δεόντως φροντίσαι, οὐδὲ τοῦτο παρήκαμεν· ὥστε αὐτῇ πανταχόθεν *περιφυλαχθῆναι τὸ ἀτάραχον. καὶ πεπείσμεθα μὲν, ὡς οὐδεμιᾶς τῆς ἔξωθεν βοηθείας εἰς τὸ καὶ ἑτέροις εἰρήνην

* ὑπάρξαι

CVM magnam omnium quæ e re publica sunt, curam habeamus, tum vero maximam illorum, quæ pertinent ad pietatem: per ea namque cetera quoque bona hominibus adiiciuntur. Scripsimus proinde non ita multo ante de pietatis vestræ Synodo apud Ephesiorum metropolim congreganda, quæ opus erat. Quia vero debiti ordinis quietisque, quam sacræ vestræ Synodi consultationes deposcunt, curam adhibere iure oportet; hanc quoque partem, quo vndique tranquillitas adesset, non prætermisimus. Non arbitramur autem, pietatem vestram vt aliis pacem con-

UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN